# ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΜΑΝΑΣΣΗΣ

*ΣΥΝΟΨΙΣ ΧΡΟΝΙΚΗ*

## 1. Αφιερωματικό επίγραμμα στη σεβαστοκρατόρισσα Ειρήνη

Δέχνυσο τοῖον δῶρον ἀφ' ἡμετέροιο πόνοιο,
ὀλβιόδωρε ἄνασσα, κυδίστη, ἀριστοτόκεια,
νυὲ χαριτοπρόσωπε μεγασθενέων βασιλήων,
ἣν πλέον ἀστράπτουσαν ἐϋβλεφάροιο σελήνης
εἰς γάμον ὄλβιον ἤρατο νυμφιδίοις ἐπὶ λέκτροις
πορφυρόπαις γόνος Αὐσονάνακτος καρτερόχειρος,
Ἀνδρόνικος μεγάθυμος, ἐϋμμελίης πολεμιστής,
ᾧ γέρα πρῶτα σεβαστοκρατορίης νεῖμ' ὁ φυτεύσας,
εἰς τοίνυν λυκάβαντας ἀπειρεσίους ἐλάσειας.

## 2. Προοίμιο

Ἡ μὲν φιλόυλος ψυχὴ ταῖς ὕλαις ἐπιχάσκει
καὶ πάντα πραγματεύεται πρὸς τὸ τυχεῖν τοῦ πόθου,
σὺ δέ, ψυχὴ βασίλισσα καὶ φιλολογωτάτη,
ἀεὶ διψῶσα γνώσεως καὶ λόγου καὶ παιδείας,
βίβλοις ἀεὶ προστέτηκας, ἐπεντρυφᾷς τοῖς λόγοις,
καὶ γίνεταί σοι τῆς ζωῆς ἅπας ὁ χρόνος λόγος.
ἐπεὶ γοῦν ἐπεπόθησας οἷα τροφίμη λόγου
εὐσύνοπτόν σοι καὶ σαφῆ γραφὴν ἐκπονηθῆναι,
τρανῶς ἀναδιδάσκουσαν τὰς ἀρχαιολογίας
καὶ τίνες ἦρξαν ἀπ' ἀρχῆς καὶ μέχρι ποῦ προῆλθον

καὶ τίνων ἐβασίλευσαν καὶ μέχρις ἐτῶν πόσων,
ἡμεῖς ἀναδεξόμεθα τὸ βάρος τοῦ καμάτου,
κἂν δυσχερές, κἂν ἐπαχθὲς τὸ πρᾶγμα, κἂν ἐργῶδες·
παραμυθοῦνται γὰρ ἡμῶν τοὺς ἐν τοῖς λόγοις μόχθους
αἱ μεγαλοδωρίαι σου καὶ τὸ φιλότιμόν σου,
καὶ τὸν τοῦ κόπου καύσωνα καὶ τῆς ταλαιπωρίας
αἱ δωρεαὶ δροσίζουσι κενούμεναι συχνάκις.
Καὶ ταῦτα μὲν ἐνταῦθά μοι καὶ μέχρι τούτου στήτω,
μή πως κολακικώτερος δόξῃ τισὶν ὁ λόγος
καὶ τὸν σκοπὸν καταλιπὼν ἄλλην ἀκούσῃ τρέχειν.
Πολλῶν ἱστορησάντων δὲ καὶ χρονογραφησάντων
καὶ σπουδασάντων μὲν εἰπεῖν ὀρθῶς καὶ φιλαλήθως,
ἀλλήλοις ἀνομοίως δὲ ταῦτα συγγραψαμένων,
ἡμεῖς, προχειρισάμενοι τοὺς μάλιστα δοκοῦντας
τῆς ἀκριβείας ἔχεσθαι καὶ μᾶλλον ἀληθεύειν,
τὸ κατὰ δύναμιν ἡμῖν ἀποπληρώσομέν σοι.

## 3. Οι πρώτες δύο ημέρες της Δημιουργίας

Ὁ τοῦ Θεοῦ παντέλειος καὶ κοσμοκτίστωρ λόγος
τὸν οὐρανὸν τὸν ἄναστρον παρήγαγεν ἀρχῆθεν,
ἀπλέτῳ κάλλει λάμποντα μαρμαρυγῶν ἐνθέων,
καὶ γῆν τὴν παντοθρέπτειραν, καὶ σὺν αὐτῇ τὸ φάος.
ἡ γῆ δ’ ἀπερικόσμητος, ἀόρατος ὑπῆρχε
καὶ σκότος ἐπεκάθητο βαθὺ τοῖς ταύτης νώτοις.
τοῦ δὲ φωτὸς αὐγάσαντος καὶ πανταχοῦ χυθέντος
καὶ λευκοπέπλου, λαμπραυγοῦς ἡμέρας γενομένης,

ὤφθη τὰ πρὶν ἀθέατα, καὶ σκότους ἡ στυγνότης
ἐφυγαδεύθη τῷ πυρσῷ τῶν φωτοβολημάτων.
ἐν τούτοις οὖν παρέδραμε τῶν ἡμερῶν ἡ πρώτη.

Τοῦ δὲ βλεφάρου λάμψαντος ἡμέρας τῆς δευτέρας
τὸν οὐρανὸν τὸν δεύτερον ἐσφαίρωσε πανσόφως,
ὃν τοῖς ἐν γῇ παντοστεγῆ δημιουργήσας στέγην
ὠνόμασε στερέωμα θεὸς ὁ καλλιτέχνης,
παρὰ τὴν πρώτην ἄναστρον ἑτέραν ὄντα σφαῖραν.
τότε καὶ τὴν παντόχυτον φύσιν τὴν ὑδατίαν
καὶ τὰς ἀβύσσους διελών, καὶ τούτων τὸ μὲν ἄνω
πρὸς ὕψος ἀνεννόητον κούφως μετεωρίσας,
τὸ δ’ ἐπὶ γῆς ἀπολιπών, ἔστησε τούτων μέσον
τὸν οὐρανὸν ὥσπερ φραγμόν, ὥσπερ στερρὸν τειχίον.